# TEZAUR LITURGIC

**6 MAI**

**PORFIRIE MONAHUL**

# SLUJBA SF.CUVIOASE SOFIA SAOULIDIS DE LA KLISURA

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 06 Μαΐου

# Ἀκολουθία

# τῆς Ὁσίας μητρὸς ἡμῶν Σοφίας τῆς ἐν Κλεισούρᾳ

**Ποίημα Πορφυρίου Μοναχού**

## Μεγάλον Ἑσπερινὸ

ψάλλομεν εἰς στίχ. η'. τά  παρόντα,ἀνά τέσσαρα (δ')ἦχ. δ'. Ὡς γενναῖον ἐν μάρτυσιν

Πρός Κλεισούραν προστρέξωμεν* εὐφροσύνως γηθόμενοι* πρός τήν μάνδραν σήμερον* τῆς θεόπαιδος*, ἵνα ἐν ὕμνοις τιμήσωμεν* Σοφίας τήν κοίμησιν* καί  χαρᾷ πνευματικῇ* τῇ Παρθένῳ προσείπωμεν*, χαῖρε Δέσποινα*, ἡ καλέσασα τότε τῇ σῇ μάνδρᾳ* ὡς ἀμνάδα ἐκζητοῦσαν* τό θεῖον ἔλεος, πάναγνε.

Ἐκ τοῦ Πόντου προσέδραμεν* ἐξορίαις καί θλίψεσιν*, μείνασα ἀνώλεθρος* ἡ χριστόλεκτος*· καί  γάρ ὁ μάρτυς Γεώργιος* πρωτίστως διέσωσε* ἐκ σφαγῆς τους γηγενεῖς*, ἡ Παρθένος δέ  κύμασιν* ἐμφανίσασα* ἑαυτήν διασώζει ἐκ κινδύνων* τήν Σοφίαν σύν προσφύγοις*, ὁλοσχερῶς κινδυνεύουσι.

Ὡς λιμένι προσέδραμεν* ἐν Κλεισούρᾳ καί γέγονε* τῶν πενήτων πάντων* τό καταφύγιον* καί σιτοδότις θαυμάσιος* πεινώντων προσφέρουσα* ὡς σοφίαν θεϊκήν* τοῖς προστρέχουσιν ἅπασιν* ἡ πανεύφημος*, ὁδηγοῦσα εἰς τρίβους μετανοίας* διά λόγου τε καί ἔργων* πάντας Σοφία ἡ πάνσεμνος

Σοφισθεῖσα, θεόλεκτε*, ἐντολαῖς τῆς θεόπαιδος* ἐκ τῆς μάνδρας ἔξω* οὐδόλως ἔφυγες* καί γάρ ὁρῶσα τήν πάγκαλον* μορφήν καί τά ρήματα* ἐξ ἐκείνης εὐκρινῶς* ἐν καρδίᾳ ἐγγράφουσα*, θεοδίδακτε*, ἐπί χρόνους πεντήκοντα καί πλέον*, ἐν τελείᾳ καρτερίᾳ*, θεία Σοφία, διέμενες.*

Ἦχ. α'. τῶν οὐρανίων ταγμάτων

Πλοῦτος σοφίας ἐδόθη σοι*, μῆτερ, ἄνωθεν* ἐν πλατυσμῷ καρδίας* καί ἐν φόβῳ Κυρίου*, προσφύγων καί πασχόντων*, πολλῶν ἰατρός*, ἀρετῆς δέ διδάσκαλος*, τῆς Θεοτόκου οἰκέτις* τε καί φρουρός* ἐγένου ὄντως, θεοκόσμητε.

Στέρρησις τέκνου, ἀνδρός τε* ἐν ἐξορίαις πικραῖς* γέγονεν ὡς βαλβίς σοι* ἀποτάξασθαι πάντων* ἡδέων τῶν ἐν κόσμω* καί ἐν σαρκί* καί προστρέχειν ὡς ἔλαφος* διψητικῶς πρός τήν μάνδραν* τοῦ Ἰησοῦ* ἐν μονῇ τῆς Θεομήτορος.

Στάκτη, σποδός ὑγρασία* καί ψύχος ἄμετρον*, γυμνότης, χαμευνία*, ἀλουσία, νηστεία*, ἐγένετό

σοι, μῆτερ*, θαυμαστικῶς* παραδείσια θέλγητρα*, ἔνθα χορεύεις, Σοφία*, χαρμονικῶς* σύν ἀγγέλων τοῖς στρατεύμασιν.

Τό ἱερόν σου μαφόριον*, μῆτερ, γέγονε* θαυμάτων θείων κρήνη* καί ὑγείαν παρέχει* πασχούσαις ἐν λοχείᾳ* καί τοκετῷ*, ἀτεκνούντων καί στείρωσιν* πᾶσαν διώκει, Σοφία*, μητροπρεπῶς*, χάριν ἔχον ποικιλόδωρον.

Δόξα. ἦχ. πλ. α'.

Ὁσία μῆτερ, Σοφία*, στέρρησιν τέκνου* ὥσπερ βαλβίδα χρησαμένη*, δρομέως κατέλιπες* πᾶσαν γηΐνην μέριμναν* καί εἰς λιμένα ἐπέφθακας* τῆς Θεομήτορος τό εὔδιον οἰκητήριον. Ἔνθα καλῶς ἀγωνισαμένη* ἐπί ἔτη πλείονα*, κλίμακα οὐρανόδρομον ἀνῆλθες*, πάσας τάς ἀρετάς* εἰς μέτρον τέλειον ἀσκήσασα*. Ὅθεν*, Σοφία παμμακάριστε*, διδάσκαλος ἀρετῆς* τοῖς προστρέχουσι διψητικῶς πρός σέ* κατέστης· καί νῦν* μητρικήν προβαλλόμενη πρός Χριστόν φιλανθρωπίαν*, πρέσβευε* ὑπέρ τῶν πόθω τιμώντων* τήν μακαρίαν σου κοίμησιν.

Καί νῦν. Τοῦ Ἦχου

Ἀναγνώσματα ὁσιακά καί τό παρόν

## Σοφία Σολομῶντος, τό Ἀνάγνωσμα (4, 7-15).

Δίκαιος ἐάν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Τότε στήσεται ἐν παρρησίᾳ πολλῇ ὁ δίκαιος κατά πρόσωπον τῶν θλιψάντων αὐτόν καί τῶν ἀθετούντων τούς πόνους αὐτοῦ. Ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ καί ἐκστήσονται ἐπί τῷ παραδόξῳ τῆς σωτηρίας. Ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες καί διά στενοχωρίαν πνεύματος στενάξονται καί ἐροῦσιν˙ Οὗτος ἦν, ὅν ἔσχομέν ποτε εἰς γέλωτα καί εἰς παραβολήν ὀνειδισμοῦ οἱ ἄφρονες· τόν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν καί τήν τελευτήν αὐτοῦ ἄτιμον. Πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ καί ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστίν; Ἄρα ἐπλανήθημεν ἀπό ὁδοῦ ἀληθείας καί τό τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν, καί ὁ ἥλιος οὐκ ἐπέλαμψεν ἡμῖν. Ἀνομίας ἐπλήσθημεν τρίβοις καί ἀπωλείας καί διωδεύσαμεν τρίβους ἀβάτους, τήν δέ ὁδόν Κυρίου οὐκ ἐπέγνωμεν. Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία; καί τί πλοῦτος μετά ἀλαζονείας συμβέβληται ἡμῖν; Παρῆλθεν ἐκεῖνα ὡς σκιά καί ὡς ἀγγελία παρατρέχουσα. Ὅτι ἐλπίς ἀσεβοῦς ὡς φερόμενος χοῦς ὑπό ἀνέμου καί ὡς πάχνη λαίλαπος διωχθεῖσα λεπτή. Δίκαιοι δέ εἰς τόν αιῶνα ζῶσιν, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν.

Ἀπόστιχα

Ἦχ. *πλ.α΄*. Χαίροις ἀσκητικῶν

Χαίροις* ἡ θεοφόρος ἀμνάς*, ἡ ἐκ τοῦ Πόντου* προσελθοῦσα καί μείνασα* τῇ μάνδρᾳ τῆς Θεοτόκου*, τῆς ἐν Κλεισούρᾳ μονῆς*, ἐπί πλείστους χρόνους* ὑπομένουσα* βασάνους καί σκάνδαλα* καί προσκόμματα ἄπαυστα*, πᾶσαν κακίαν* ψυχοφθόρον, προσμένουσα* θράση ἅπαντα* φθονερά ἀνατρέπουσα*. Χαίροις ἡ καρτερόψυχος*, Σοφία πανεύφημε*, ἀσκητριῶν χαῖρε κλέος* καί τῇ Δεσποίνῃ προσάγαγε* εὐχάς καί δεήσεις* ἵνα εὕρωμεν ἀφθόνως τό θεῖον ἔλεος.

*Στίχ.:* Ἔστησας ἐπί πέτραν τούς πόδας μου….

Μύρον* τό νοητόν ἐκχυθέν* ἐκ τῶν κρασπέδων* Μαριάμ τῆς θεόπαιδος* σέ ἤγαγε, θεοφόρε*, ἐν τῇ αὐλῇ ὑμνωδόν*, ἵνα πόθῳ βλέπῃς*, μῆτερ πάντιμε*, τό θεῖον καί πάντιμον* καί ἁγνόν αὐτῆς πρόσωπον*, καίτοι ἐν στάκτῃ* ἑαυτήν κατακλίνουσα*, καί νηστείᾳ σῶμα κατατήκουσα*. Χαῖρε, Σοφία, ὄργανον* μητρόθεον πλήττουσα* τάς πληγωθεῖσας καρδίας* καί πρός μετάνοιαν φέρουσα*, τούς πόθῳ τιμῶντας* τήν σεβάσμιόν σου μνήμην* ἐν ὥρᾳ Ἕαρος.

*Στίχ.:* Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περί πάντων…

Ὄντως* τῆς ἀρετῆς κραταιόν* διδασκαλεῖον* οἱ σοί λόγοι ἐγένοντο*, ὁ βίος πάλιν ὡς λύχνος* τάς πενομένας ψυχάς* ἐν ἀσκήσει, μῆτερ*, κατεφαίδρυνε*. Σοφία πανεύφημε*, ἀσκητριῶν

ἐγκαλώπισμα* καί τῶν ἀρχαίων ἀμμάδων* σφραγίς γνησία ἐν πνεύματι*. Χαῖρε τῆς θεομήτορος* μαθήτρια δούλη τε* καί τῶν ἁγίων ἡ φίλη*, διακονοῦσα τούς κάμνοντας*, ἐν πάσῃ ἀνάγκῃ*, δι' ὧν εὗρες παρρησίαν* καί μέγα ἔλεος.

Δόξα. ἦχ.δ'.

Δεῦτε τῶν ἀρετῶν οἱ ἐρασταί* καί τῆς ὑπομονῆς οἱ πύκται, προσδράμετε, ἐπί τῇ πανσέπτῳ σήμερον μνήμῃ* τῆς γνησίας ταύτης μαθητρίας τῆς Θεόπαιδος. Μητρικῇ γάρ ἐκείνης προσκλήσει* πάντα κατέλιπεν* ἡ θεόκλητος Σοφία* καί ταύτῃ τῇ μάνδρᾳ ἑαυτήν κατέκλεισεν*, ἐν τελείᾳ ὑπομονῇ* πάντα πόνον ὑπομένουσα*. Ὅθεν καί ἔλαβε* πλούσια τά χαρίσματα* παρά αὐτῆς τῆς Θεοτόκου* καί πᾶσι γέγονεν* ἀρετῆς ὑποτύπωσις* καί τῶν ἀρχαίων μητέρων* σφραγίς θεοείκελος*. Αὐτῆς οὖν πρεσβείαις*, ὁ Θεός*, ἔκχεον καί νῦν ἐφ' ἡμᾶς* τό μέγα σου ἔλεος.

Καί νῦν. Τοῦ Ἤχου.

Ἀπολυτίκιον. ἦχος γ. *Τήν* ωραιότητα

Σοφίας, γέγονας*, μῆτερ αοίδιμε*,

Σοφία, σέμνωμα*, τῆς Θεομήτορος*,

ἐν τῇ Μονῇ ἀσκητικῶς*, τόν βίον σου διελθοῦσα*·

ὅθεν καί ἀπείληφας* τῶν καμάτων σου ἔπαινον*

κατατραυματήσασα*

τῶν δαιμόνων τάς φάλαγγας*

ὡς πρέσβειρα Χριστῷ παρεστῶσα*

μή ἐπιλάθου* τῶν πόθῳ τιμώντων σε.

ΛΙΤΗ

ἐν τῇ Λιτῇ, λέγε πρῶτον τό τῆς Μονῆς, εἶτα δέ τά παρ Ἦχ. α'.

Μιμνησκόμενοι* τῆς μακάριας Σοφίας, ἀδελφοί*, τήν μνήμην αὐτῆς σήμερον* ὕμνοις πανηγυρίσωμεν*. Τούς λόγους δέ πάλιν*, ως γλύκισμα καί ίασιν ψυχής* ευφροσύνως ακουσώμεθα*. Υπομονής γάρ ἔχοντες χρείαν*, μεσίτιν* πρός Χριστόν προβάλλοντες*, δεόμεθα ἐκτενῶς*, ἵνα πλούσιας λάβωμεν τάς ἀντιδόσεις* παρά Θεοῦ*, τοῦ παρέχοντος πᾶσι τό μέγα ἔλεος.

ἦχ.γ.

Χοῦς ἐκ χοός*, εἰς χοῦν κατ' ἀλήθειαν* πορευόμενον τό σῶμα τό πήλινον*, ἡ σάαρξ ἡ φθειρομένη*. Ἀλλά διαρτίᾳ πλασθέν*, ψυχήν προσφέρει ἀθάνατον* αὐτῷ τῷ δοτῆρι καί πλαστουργῷ*, τῷ θεϊκῷ θρόνῳ ἀποτιθέμενον αὐτήν, εἰς αἰῶνας*, ἐβόα ἡ Σοφία τοῖς προσερχομένοις.

ἦχ.δ'.

Τῶν φιλέορτων οἱ χοροί* δεῦτε προσδράμωμεν*, ἐν φαιδρότητι σήμερον* περικυκλοῦντες τήν κάραν* τῆς θεοφόρου μητρός* καί τήν εἰκόνα σεμνῶς* ἐν χαρᾷ καί πόθῳ ἀγαλλόμενοι* κροτήσωμεν ᾄσμασι* μνήμην Σοφίας ἀνυμνοῦντες τοῖς πέρασιν*, ἐν Ἀνοίξεως χαρμόσυνῃ χορεύοντες. Χαίροις δέ ἀνακράξωμεν*, πανεύφημε μῆτερ*, Κλεισούρας ἡ δόξα* τοῦ Πόντου ἐκβλάστημα νέον*, θαυμάτων ἡ βρύσις*, μή παύσῃ ἀναπέμπουσα* τάς εὐχάς σου πρός Κύριον.

Δόξα. ἦχ. πλ. β.

Τούς σοφούς καί συνετούς* δι' ἀγάπην Χριστοῦ, φαύλους καλοῦσιν οἱ ἄφρονες* βοᾶ ὁ προφητάναξ Δαβίδ*. Ὅθεν καί αἱ τρίβοι τῆς μακάριας Σοφίας,* πλάνοι ἐφαίνοντο τοῖς πολλοῖς*, περιγελοῦσιν τό ἄπλαστον* καί ἀνόθευτον τῆς ἀγάπης αὐτής*. Ἀλλ' ἡ μήτηρ τοῦ Ἰσοὺ* εὐμενῶς φερομένη*, παραμύθιον γλυκύ καί παράκλησιν* ἐδωρεῖτο πλουσίως αὐτῇ*. Λαβοῦσα ὅθεν τῶν ἰάσεων χάριν* καί θαυμάτων τήν ἐνέργειαν* πᾶσι τοῖς δεομένοις* δαψιλῶς ἐκίρνα* τό πλούσιον ἔλεος.

Καί νῦν. Τῆς προστυχούσης εορτής.

# Ὄρθρος

Μετά τήν α'. Στιχολογίαν ἦχ. γ'. Θείας πίστεως

Θείας γέγονας*, μῆτερ, σοφίας* ἐνυπόστατον* ταμεῖον ὄντως*, εἰ καί ἀγράμματος νήπιος πέφυκας*, ἀλλά τῇ πίστει Χριστῷ προσεφοίτησας* καί ἐπληρώθης, Σοφία, τῆς χάριτος*. Ὅθεν γέγονας* ἀγάπης κρουνός ἀκένωτος*, τοῖς προσιοῦσι τῇ θείᾳ πρεσβείᾳ σου.

Μετά τήν β'. στιχολογίαν ἦχ. πλ. δ'. Τήν σοφίαν καί λόγον.

Θυγατέρα καί δούλην μητροπρεπῶς* ἐν Κλεισούρᾳ σέ ἔσχεν ἐν τῇ μονῇ* χρόνους ἐπί πλείονας* ἐν ἀσκήσει τελείᾳ*· ὑπομονῆς δέ γέγονας* κραταίωμα πάντερπνον* καί θεϊκῆς πρός πάντας* ἀγάπης τούς κάμνοντας*. Ὅθεν ἀνεδείχθης* ἀρετῆς οἰκονόμος* καί σέμνωμα ἄριστον* πρός τόν πέλας μακρόθυμε*, τῆς μονῆς σου τό καύχημα*. Πρέσβευε ἀπαύστως, σοφή*, ἵνα εὕρωμεν χάριν καί ἔέλεος* τῇ θερμῇ σου πρεσβείᾳ*, Σοφία παμμακάριστε.

Μετά δέ τόν πολυέλεον ἦχ. γ'. Τήν ὡραιότητα

Ρίζα φρονήσεως* καρπόν ἀπέδωκε* τόν εὐκλεέστατον* πόνοις σπαρέντα ἐν τῇ γῇ* τῆς ἀγαθῆς καρδίας σου*. Ὅθεν, μῆτερ, γέγονας*, ἀγλαόκαρπον δώρημα* πᾶσι τοῖς τιμῶσι σε*

σωτηρίαν βραβεύουσα* τῷ θρόνῳ δέ τοῦ πλάστου παρεστῶσα*, Σοφία*, σόφιζε τούς δούλους σου.

Εἶτα δέ ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· λέγε δέ ὁσιακόν.

Προκείμενον.

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.

*Στίχ.:* Ἔστησεν ἐπί πέτραν τούς πόδας μου...

Δόξα. Ταῖς τῆς μακάριας Σοφίας ἱκεσίαις, Χριστέ, τοῖς δεομένοις παράσχου τάς αἰτήσεις.

Και νῦν. Ταῖς τῆς Θεοτόκου...

ἦχ. πλ. β'.Ἐλέησόν με ὁ Θεός...

Ὁσία μῆτερ*, θαυμαστή ἡ πολιτεία σου γέγονεν* ἀγγέλοις καί ἀνθρώποις*. Ζήσασα γάρ ὑπέρ φύσιν*, Σοφία*, ἀγγελικήν διαγωγήν* ἐπί ἔτη πλείονα* ἐπολιτεύσω*. Ὅθεν* παρρησίαν κεκτημένη*, δεόμεθα*, μή παύσῃ ἐκτενῶς* ὑπέρ ἡμῶν* Χριστῷ πρεσβεύουσα.

Α'. Κανών κατ'ἀλφάβητον. ἦχ.δ'.

Ὠδή α'. *Ἀνοίξω τό στόμα μου*

Ἀγώνων παλαίσματα* καί δωρεῶν τά χαρίσματα* ἐκπλήσσομαι σήμερον* μετρᾶν βουλόμενος*,

καταγράφειν δέ* εἰς δέλτους, θεοφόρε*, Σοφία, τόν δοῦλον σου*, μῆτερ*, ἐνίσχυσον.

Βραβεῖα τῆς χάριτος* Σέ ἐν ζωῇ κατεκόσμησαν* ἐν οἴκῳ θεόληπτε* τῆς Θεομήτορος*· ἐν Κλεισούρᾳ γάρ* τόν βίον διελθοῦσα*, ἐν τῇ πολιτείᾳ σου* ἔχαιρον ἄγγελοι.

Γυμνώσασα, πάνσοφε*, τοῦ πονηροῦ τά τεχνάσματα* οὐδόλως τό φρόνημα* κατεπτοήθης, σεμνή*, ὅθεν γέγονας* χωρίον τοῦ Ἁγίου* καί σέμνωμα Πνεύματος*, Σοφία, τέλειον.

Πτοοῦμαι, Πανάμωμε*, ἐπιφοραῖς τοῦ ἀλάστορος* καί  τρέμω ὁ δείλαιος* τοῦ πονηροῦ τάς ὁρμάς*· ἀλλ' ἐπήλπισα* ταῖς θείαις μεσιτείαις* Σοφίας καί  σκέπῃ σου* θαρρῶν προσέδραμον.

Ὠδή γ΄. *Τούς σούς υμνολόγους*

Δαιμόνων τά  θράση, θεοφόρε*, τῇ ράβδω χειρί σου κραταιῶς* συνέτριψας καί γέγονας* δαιμονοπλήκτης ἄριστος*· δυνάμει γάρ τῆς χάριτος* τούτους Σοφία, ἐδίωκες.

Ἐζήλωσας βίον ἐγκρατείας* ὁσίων ἀρχαίων ἀσκητῶν*, ἀκραίων τοῖς παλαίσμασιν* καί ἐρημίαις, πάνσοφε*, βιούντων, ὅθεν γέγονας* ἀξία καί  τοῖς  χαρίσμασιν.

Ζητοῦσα, Σοφία θεηγόρε*, ἐν θείῳ τεμένει τῆς ἁγνής*, μῆτερ, καί θεομήτορος*, τήν χάριν τοῦ υἱοῦ αὐτῆς* κατέτηξας πᾶν γήϊνον* νοός σου κίνημα, πάνσοφε.

Ὁ τόκος σου, μῆτερ, ἀνεδείχθη*, Παρθένε, ἀγάπης νοερᾶς* φίλτρον, ἔρως καί κίνημα* τοῖς ἐκζητοῦσι πάντοτε* ταῖς ἐντολαῖς πορεύεσθαι* ἐκείνου πρός ἐπιπόθησιν.

Κάθισμα ἦχ. α'. Τόν τάφον σου, σωτήρ

Ὁ φόβος τοῦ Θεοῦ* ὡς ἀρχή τῆς σοφίας* ἐσκήνωσεν ἐν σοί*, χριστοδίδακτε μῆτερ*, καί γέγονας ἄριστον* Θεοτόκου ἐκσφράγισμα*, ὅθεν χαίροντες* τῇ πανηγύρει σου πάντες* σέ προβάλλομεν* τῇ Θεοτόκῳ ὡς πρέσβυν* ἐν ὥρᾳ τῆς κρίσεως.

Ὠδή δ'. Εἰσακήκοα, Κύριε, τήν ἀκοήν σου καί ἐφοβήθην

Ἡλιακάς λαμπηδόνας ἐκ τῆς εἰκόνος* ἐξέπεμπες, Θεοτόκε, ἐν τῷ ναῷ σου* προσευχομένης τῆς Σοφίας* ἥτις ἀνορθουμένη Σέ ἐμεγάλυνεν.

Θησαυρός μοι ὁ σός βίος, μῆτερ, ἐγένετο* ὅνπερ καταγράφων ἐν βίβλω*

Θαυμασμοῦ πληροῦμαι* ὅτι μεγάλως* ἡ θεόπαις ἐν γῇ σέ ἐδόξασεν.

Ἱκετεύομεν, Κύριε, τήν Τριάδα*, Θεόν τόν ἐν μονάδι*, ὡς πρός πατέρα προστρέχοντες τῷ ναῷ σου*, καθάπερ ἐδίδασκεν* Σοφία τοῖς προστρέχουσι.

Ρητορεύομεν, πάναγνε, μεγαλεῖα τῆς σῆς μεγαλωσύνης*, πῶς κατεδέξω ἐν ἔργοις* δοξάζειν τήν δούλην σου*, ἐν τῇ μονῇ σου*, Σοφίαν τήν πάνσεμνον.

Ὠδή ε'. *Ο του φωτός διατμήξας*

Καθαρθείσα νηστεία καί μετάνοια*, Σοφία, ως ἐν λιμένι ναώ τῆς Θεοτόκου* σαφώς κατηξιώθης ιδείν*, αγαθή, ουράνιους θεωρίας καί θαύματα.

Λαμπροφανώς σοι εδείχθη τῆς Θεοτόκου* ἡ δόξα, ἵνα τό πάθος αφαιρέση* εκσου, τό σωματικόν* καί αλγηδόνος, Σοφία, άπαλλάξη σε.

Μετανοούσα ἐν βίω καί διαυγεί πολιτεία* διά παντός κηρύττεις τοῖς προσιοῦσι πιστώς*, ἐν μετάνοια πορεύεσθαι* ἵνα ούτω σωθησώμεθα.

Φερωνυμήσας σοφία* τῇ ουρανίω, Σοφία*, ως ἐν αρχή έθηκας τόν φόβον του Θεού*, όνπερ εδιδάχθης* υπό τῆς Θεομήτορος, πάνσοφε.

## Ὠδή ς'. *Θύσω σοι*

Νεῦσόν μοι* τῇ παρρησία, σεμνή, πρός τόν Κύριον* ο σός ικέτης προσπίπτων* βιωτικών ἐκ φροντίδων πεφορτισμένος*, ἵνα ψάλλω* χαρμοσύνως τά σά, Σοφία, θαυμάσια.

Ξένη σου* ἡ πολιτεία, πάνσεμνε, μήτερ*, ξενίζουσα τούς ξένους*, εὐλαβεία προστρέχοντας τῇ μονή σου*, ώσπερ πάλαι Αβραάμ ξενοτρόπως Τριάδα ἐξένισεν.

"Ολην σου* τήν ἐφεσιν πρός τά άνω* ἐστρεφες, μῆτερ όσία*, ἐν βίω θεωρούσα κάλλη του Παραδείσου*, παρορώσα, Σοφία, ανθρώπινα παίσματα.

"Υμνοις σε* ἐκτενῶς καί ἀπαύστως κραυγάζω σοι*, συντετριμμένη καρδία*, Κεχαριτωμένη, χαῖρε καί σῶσόν με, τῇ θερμή σου* πρός Χριστόν Ικεσία, θεόνυμφε.

### Κοντάκιον. ἦχ. δ'. Ἐπεφάνης σήμερον

Τής σοφίας γέγονας* τῆς θεϊκῆς καί ἐν φόβω* παμφαές θησαύρισμα*, μῆτερ Σοφία, μητρικῶς* τοῖς σοῖς ικέταις, μακρόθυμε*, προσφέρεις πᾶσι*

πλούσιας τάς χάριτας.

Ὁ Οἶκος.

Τίς σέ ἐδίδαξε, Σοφία, τά τοῦ βίου* τῶν ασκητῶν καί τῶν πάλαι ὁσίων*,ἐν ὄρει καί ἐν ψύχει*, ἐν τῇ μονῇ τῆς θεόπαιδος κόρης*; Αύτη, ἡ τέξασα τόν προαιώνιον Λόγον*, ώφθη μοι πάλαι* μυστηρίων ἀλείπτης* καί ἤγαγέ με*, οδηγοῦσα τούς πόδας* ἐκ Πόντου τώδε* τῷ ὄρει προσκαλοῦσα*. Πνεύμα δέ τό Άγιον*, τό ἀγράμματους σοφίζον* ἐδίδαξέ μέ σοφίαν τήν ἐκ φόβου*. καί ούτω μείνασα* ἐπί πλείονας χρόνους*, λελαμπρυσμένη τῷ Χριστώ παρεστάθης* ως σκεύος τίμιον* τῆς ἐκείνου ἀγάπης*. Ημείς δέ πάντες* γινώσκοντες σόν βίον* ἀναφωνοῦμεν ἐκ μέσης καρδίας δντως υπάρχει θαυμαστός ο σωτήρ μου*, δστις ἐν άγίοις ἐνδοξάζεται, μῆτερ*, καί πᾶσι προσφέρει* πλούσιας τάς χάριτας. –

Μύρον σοφίας, τῆς θεόπαιδος δούλη,

Σοφία ἐγένετο ἐν Κλεισούρα διά βίου.

Μαΐου έκτη πρός ουρανόν Σοφία ἔβη.

Ὠδή ζ'. *Αβραμιαίοι ποτέ*

Παρισταμένη ποτέ* ἐν τῇ είκόνι, μήτερ*, ράπισμα εδέχθης ἐκ τῆς Παρθένου*, συνέσει δέ έκτοτε* ακαταπαύστως ἐδοξολόγεις τήν πλήξασαν.

Ρητορικώς καί σεμνώς* τά μεγαλεία ὑμνεις* τῆς Θεοτόκου δόξαν ἀνακράζουσα*,

αὕτη γάρ ἐγέννησε τόν Θεόν Λόγον* τόν εἰς αἰῶνας εὐλογημένον.

Σεσαπημένων φθορςί* τῶν εντοσθίων, μῆτερ*, ἐμφανισθείς ο πρώτιστος ταῶν αρχαγγέλων* μαχαίρα ἀπέκοψεν ὅθεν καί δόξαν* τῇ μητρί τοῦ Θεοῦ ἀνταπέδωκας.

Ρύσαι οὖν, Κόρη, καμέ*, ἐξ ἀλύτων δεσμῶν καί κακώσεων*, όπως δοξάζω ἀπαύστως καί μεγαλύνω* τόν Υἱόν σου, ἵνα ἵλεως* γένηται τῷ οἰκέτη σου.

Ωδή η'. *Παίδας ευαγείς ἐν τῇ καμίνω*

Τύπος ἀσκητρίας καί οσίων* μητέρων αρχαίων ώς" ἐκτύπωμα* πᾶσιν ἀναδέδειξε* θεομητροδίδακτος* μονή ἐν χρόνοις πλείοσι*, Σοφία, μένουσα*, τοῖς πόνοις* καρτεροῦσα εὐτόνως*, χαίρουσα καρδία* καί δάκρυσι τρυφῶσα.

"Υλην γεηράν ουδόλως, μήτερ*, υπέφερες βλέπειν τόν λαόν*. τιμάν άλόγως σπεύδουσα* δεικνύειν τά σωτήρια*, διδάσκουσα εκάστοτε τά θεία λόγια*, τόν Κόριον*υμνείτε άπαύστως* καί ύπερυψούτε* τά θεία μεγαλεία.

Φέγγει τῆς εικόνος σου, Παρθένε*, έδείκνυες τότε τῇ σεμνή* Σοφία τῇ οίκέτιδι* σήν παρουσίαν σπεύδουσαν* Ίνα φυλάττη πάντοτε* μονήν καί ποίμνην σου* βοώσαν* ἀκαταπαύστως, παρθένε*, ύμνους αρμοδίους* πρός σέ καί τόν σόν τόκον,

Ἴασαι, ἁγνή Θοκυῆτορ*, κινήσεων, μῆτερ, νοητῶν* δι' ὧν ἀπομακρύνεται* ὁ δοῦλός σου του τόκου σου*. ως ἀστρον οῢν ἀνάτειλον ἐν τοῖς ἐγκάτοις μου*, τόν Κύριον* Ϊνα δοξάζω ἀπαύστως* τόν τερατουργοῦντα θαυμάσια μεγάλα.

Ὠδή θ'. *Ἅπας γηγενής*

Χαίρει προφανῶς*, Σοφία πανεύφημε*, ἡ ἐκκλησία Χριστοῦ*, ὅτι πεφανέρωται* ἐσχάτοις χρόνοις* θεῖα χαρίσματα*, ἐν σοί κατακοσμήσαντα* ἅπαν τό πλήρωμα*, ἡ Μονή δέ* συγχαίρει κατέχουσα*, τά θεῖα σου λείψανα ὡς πλοῦτον ἄσυλον.

Ψάλλομεν φαιδρῶς*, ἐπάξια ἄσματα* τῶν χαρισμάτων σου*, ἐν τῇ θείᾳ μνήμῃ δέ*, κροτοῦμεν χεῖρας* ἐν σοί δοξάζοντες* τόν σέ κατακοσμήσαντα τοιούτοις θαύμασιν*, ἐν Κλεισούρᾳ* ἔνθα πλείστοις ἔτεσι* τῆς  θεόπαιδος δούλη καθέστηκας.

Ὥρᾳ τῇ φρικτῇ*,  καλῶ σε μεσίτριαν*,  Σοφία πάνσεμνε*,  ὅταν  μέλλω κρίνεσθαι*, σύ παρεστῶσα εἰπέ τά  πρέποντα* Ἵνα κἀγώ ὁ δοῦλος σου* σύν σοί σωθήσωμαι*, εἰ καί, μῆτερ*, ἔξω μέλλω βάλλεσθαι* ὡς ἀνάξιος πλέον τῆς  χάριτος.

Ὅλη τῇ ψυχῇ* Τριάδι παρέδωκας* τῇ Παναγία, σεμνή*, νοῦν, ψυχήν καί  φρόνημα*, σῶμα δέ πάλιν*, μῆτερ, κατέτηξας*, ὅθεν τά  πάντα δέδωκας

Πατρί, τό πρώτιστον*, ὁ Υἱός δέ* σκήνωμα τοῦ Πνεύματος*, σέ ἐποίησεν ὅλην τῇ χάριτι.

Σόφισον τόν νοῦν*, Παρθένε, τοῦ  δούλου σου*, ὅστις, Πασίχαρις*, πόθῳ καταφεύγει σοι*, ὥσπερ οἰκέτης ἀχρεῖος, δέσποινα*, καί  παῦσον τά σκιρτήματα τῶν πονηρῶν λογισμῶν* σέ γάρ, μῆτερ*, ὡς λιμένα εὔδιον* ἐν πελάγει τοῦ  βίου ἐγνώρισα.

Ἐξαποστειλάριον. *Τοῖς  μαθηταῖς συνέλθωμεν*

Σοφία θεοδώρητος* ἐπεδήμησε, μῆτερ*, ἡ νήπια σοφίζουσα* καταστήσασα τότε* διδάσκαλον εὐσεβείας* ἐν ναῷ τῆς Παρθένου*, παρ' ἧς ἐκλήθης φέρουσα* τά  ὀνείδη τοῦ κόσμου* μένουσα τεσσαράκοντα* χρόνους ἐν ἐρημίᾳ.

Ἀμνάδα ἐν τῇ μάνδρᾳ σου*, Παρθένε, προσεκάλεσας* Σοφίαν  θρέμμα πάγκαλλον* Πόντου, θεοκυῆτορ*, ἥνπερ πιστοῖς* ὡς διδάσκαλον δέδωκας μετανοίας*, ἧς καί τήν μνήμην σήμερον* φαιδρῶς ἐπιτελοῦμεν.

Εἰς τούς Αἴνους.

Ἱστῶμεν στίχους τέσσαρας (4) καί  ψάλλομεν στιχηρά προσόμοια τά  παρόντα.

Ἦχ. πλ. δ'. *Ὢ τοῦ παραδόξου θαύματος.*

Θεία σοφία ἐσόφισε* τό νοερόν σου σαφῶς*, ἀγράμματους σοφίζουσα*, ἁλιέας πρότερον*, ἀποστόλους κηρύξασα*. ὅθεν τόν κόσμον*, μῆτερ, διδάσκουσα*, Σοφία, πάντας* σοφῶς πορεύεσθαι*, γέγονας πάντιμον*, σκεύος καθαρώτατον καί διαυγές*, ἔσοπτρον τοῦ Πνεύματος* τοῦ Παναγίου, σεμνή.

Πᾶσαν διῆλθες τήν ἄσκησιν* καρτερικῶς ἐν αὐλῇ* τῆς Θεόπαιδος πράττουσα*, ὅλως τάς τῆς χάριτος* ἐπινεύσεις πραότατα*, ἀγάπην πᾶσι προθύμως χέουσα*, ὥσπερ ὁ κτίστης τό θεῖον ἔλεος*· ὅθεν καί γέγονας*, ἀρετῆς διδάσκαλος τῆς πρακτικῆς*, πάσας ὑπερβαίνουσα* βαθμίδας, πάνσοφε.

Πῶς μή θαυμάσω γηθόμενος* σῆς πολιτείας, σοφή*, ἀνδρικά κατορθώματα*, θήλεως νικήσασα*, τό δειλόν καί εὐόλισθον*. Πῶς ἐκαρτέρεις* χειμῶνος ἔνεδρα*, πῶς ἐν νηστείᾳ* σῶμα κατέτηξας*, μῆτερ, καί γέγονας* ἀετός ὑπόπτερος ὑψιπετής*, ἄνωθεν λαμβάνουσα*, Σοφία, ἔπαθλα.

Χαίρει, σκιρτᾶ καί ἀγάλλεται* πᾶσα, Σοφία, ψυχή * ἐν τῇ θείᾳ σήμερον* μνήμῃ, μῆτερ, προστρέχουσα*, καί προσκυνοῦσα τήν θείαν κάραν σου* μετά τῶν ἄλλων ὀστέων. Ἅπαντα*, χάριν προχέουσιν* καί ἰάσεις δίδωσιν πᾶσιν ἁπλῶς*, τοῖς πιστοῖς, λαμπρότατα* πανηγυρίζουσιν.

Δόξα. ἦχ. πλ. β'.

Χιών καί χειμών*, ἐρημία καί θηρία* οὐδόλως ἐπτόησαν τό θῆλυ τῆς φύσεως*. Ἀλλ' ἐλπίδι προσκαρτεροῦσα* νύκτωρ καί καθ' ἡμέραν* οὐκ ἐπαύσω δεομένη τῇ Θεομήτορι*, Σοφία, ὁσία μῆτερ*, ἀρχαίων ἀσκητριῶν γυναικῶν τό ἐκτύπωμα*. ὅθεν καί ἡμῖν* ἔμπνευσον ὑπομονήν*, καρτερίαν, καί δυνάμεως θάρρος*, ὑποφέρειν τά τῶν ἀντικειμένων βάρη χαλεπά* καί πρέσβευε* τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Ἐκ τῆς προστυχούσης ἑορτῆς

Ὁ Ἀπόστολος πρός Ἑβραίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα (Ἑβρ. 10, 32-11, 1)

Εὐαγγέλιον. Ὁσιακόν.

Μεγαλυνάρια

Σοφισθεῖσα, μῆτερ, πνευματικῶς* ὅλον σου τόν βίον* ἐν τελείᾳ ὑπομονῇ* διῆλθες, Σοφία*, καί νῦν τοῦ σοῦ νυμφίου* τό κάλλος ἐποπτεύεις* ἐν ταῖς παστᾶσιν αυτού.

Φιλοστόργως, μῆτερ, διηνεκῶς* ὕμνεις τήν Παρθένον* ταῖς παννύχοις σου προσευχαῖς*, ὅθεν τοῖς ἐν πίστει* προστρέχουσι πρός ταύτην* προσφέρεις τάς αἰτήσεις*, Σοφία, πάντοτε.